www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΩΝ ΟΣΙΩΝ & ΟΜΟΛΟΓΗΤΩΝ ΠΑΤΕΡΩΝ

# ΓΕΝΝΑΔΙΟΥ & ΓΕΡΑΣΙΜΟΥ,

# ΤΩΝ ΜΑΧΑΙΡΙΩΤΩΝ

(ἑορταζομένων τῇ 19η Μαΐου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2001 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΤΗι ΙΘ΄ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ ΜΝΗΜΗ ΤΩΝ ΟΣΙΩΝ & ΟΜΟΛΟΓΗΤΩΝ ΠΑΤΕΡΩΝ ΓΕΝΝΑΔΙΟΥ & ΓΕΡΑΣΙΜΟΥ ΤΩΝ ΜΑΧΑΙΡΙΩΤΩΝ

* * *

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ ἀκόλουθα στιχηρὰ προσόμοια.*
Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Πατέρων δυὰς χριστοφιλής,
τοῦ Χριστοῦ ἀκούσασα,
"Δεῦτε ὀπίσω μου" λέγοντος,
προθύμως ἔλαβον,
τὸν σταυρὸν ἐπ᾽ ὤμων,
καὶ καλῶς ἠσκήθησαν,
εἰς μάνδραν Μαχαιρᾶ θεοσκέπαστον,
ἔνθα ἐτράφησαν,
ἐν τοῖς δόγμασι τῆς πίστεως,
πρὸ τυράννων,
στεῤῥῶς ὡμολόγησαν.

Γεράσιμε θεῖε ἀσκητά,
Μαχαιρᾶ τὸ γέννημα,
ὡς πεποιθὼς λέων ἔδραμες,
πρὸς τὸ μαρτύριον·
"οὐ καλῶς ποιεῖτε,
πίστιν ἀνατρέποντες,
Πατέρων θεοπνεύστων καὶ ἄθεσμα,
τιμῶντες ἄζυμα",
τοῖς Λατίνοις ἀνεκραύγαζες,
ὅθεν στέφος,
ἐν πυρὶ ἀπείληφας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Γεννάδιε πίστιν ἀληθῆ,
ὡς θεόπνουν ὄργανον,
ὁμολογήσας συμμέτοχος,
μαρτύρων γέγονας,
καὶ συρεὶς δι᾽ ἵππων,
ἐν ᾿Εδὲμ κατέπαυσας,
τὴν πόλιν τοῦ Θεοῦ τὴν ἀσάλευτον,
ὅθεν μνημόνευε,
τοὺς τιμῶντάς σου τὴν ἄθλησιν,
καὶ αἰτούντων,
τὰς θερμὰς πρεσβείας σου.

Θεόν τε καὶ ἄνθρωπον ὁμοῦ,
τέλειον γεννήσασα,
Μαχαιριώτισσα Πάναγνε,
γένος διέσωσας,
ἐκ φθορᾶς θανάτου,
καὶ ὡς νέον φύραμα,
ἀνθρώπους τῷ Θεῷ ἀνεκαίνισας,
ὅθεν τὰ τέκνα σου,
ἀζυμίτας ἀπελέγξαντες,
τῆς σῆς Μάνδρας,
καύχημα ἐδείχθησαν.

Δόξα. Ἦχος β'.

Τὴν πατρικὴν εὐσέβειαν κηρύξαντες,
πρὸ δυσσεβούντων Λατίνων,
Πατέρες Μαχαιρᾶ θεοδόξαστοι,
σὺν τοῖς λοιποῖς ὑμῶν συμψύχοις τε καὶ συνάθλοις ,
τῶν ᾿Ορθοδόξων στηρίγματα ἐγένεσθε,
καὶ τῆς εὐαγεστάτης Μονῆς ἡμῶν,
θεῖα καυχήματα καὶ πρέσβεις ἀκοίμητοι.
Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Καταξίωσον.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Στιχηρὰ προσόμοια. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Πόνους ἀσκητικούς,
συμμείξαντες Πατέρες,
θείᾳ ὁμολογίᾳ,
τὸ γένος Ὀρθοδόξων,
χαρᾶς πολλῆς ἐπλήσατε.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ...

Πίστιν τὴν πατρικήν,
γενναίως πρὸ Λατίνων,
κηρύξαντες Πατέρες,
ἐτύθητε Κυρίῳ,
πυρὶ ὁλοκαυτώσεως.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Ἄρτον τὸν ἀληθῆ,
ποθοῦντες παῤῥησίᾳ,
ἀζυμιτῶν τὴν πλάνην,
ἐλέγξαντες Πατέρες,
τούτου τρυφᾶτε πάντοτε.

Δόξα. Τριαδικόν, ὅμοιον.

Πάτερ, Λόγε Θεοῦ,
καὶ Πνεῦμα, Τριὰς μόνη,
πρεσβείαις τῶν Πατέρων,
τοῦ Μαχαιρᾶ τὴν Μάνδραν,
φύλαττε ἀταλάντευτον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Χαίροις Κόρη σεμνή,
τοῦ Μαχαιρᾶ ἡ σκέπη,
καὶ σὺν Ὁσιοάθλοις,
Χριστὸν μὴ διαλίπῃς,
πρεσβεύειν ὑπὲρ Μάνδρας σου.

*Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστίν.*

Ἀπολυτίκιον
Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τὴν ὀρθόδοξον πίστιν διατόρως κηρύξαντες,
καὶ τὴν ψυχολέτειραν πλάνην,
τῶν Λατίνων ἐλέγξαντες,
γενναίως κατεβάλετε ἐχθρόν,
καὶ στέφος ἀπειλήφατε λαμπρόν,
μαρτυρίου τῶν πατέρων δυὰς σεπτή,
Γεννάδιε, Γεράσιμε.
Ὅθεν Μονὴ τοῦ Μαχαιρᾶ,
μνήμην ὑμῶν γεραίρουσα,
δόξαν προσάγει τῷ Χριστῷ,
ὑμᾶς τῷ στεφανώσαντι.

*καὶ τὸ τῆς ἑορτῆς*

Ἀπόλυσις



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΤΗι ΙΘ΄ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ ΜΝΗΜΗ ΤΩΝ ΟΣΙΩΝ & ΟΜΟΛΟΓΗΤΩΝ ΠΑΤΕΡΩΝ ΓΕΝΝΑΔΙΟΥ & ΓΕΡΑΣΙΜΟΥ ΤΩΝ ΜΑΧΑΙΡΙΩΤΩΝ

* * *

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ ἀκόλουθα στιχηρὰ προσόμοια.*
Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Μαχαιρᾶ Μάνδρα σήμερον,
μνήμην ἄγει χαρμόσυνον,
θείου Γερασίμου καὶ Γενναδίου τε,
οἵτινες πρῶτον ἀσκήσαντες,
καὶ πῦρ ἐπαυξήσαντες,
τῆς ἀγάπης τοῦ Χριστοῦ,
εἶτα πίστιν ἐκήρυξαν,
τὴν Ὀρθόδοξον,
πρὸ λατίνων τὰ ἄθεσμα φρονούντων,
καὶ ἀπείληφαν τὸ στέφος,
τοῦ μαρτυρίου οἱ ἔνδοξοι.

Ἐν τῇ σκέπῃ σου ἔδραμον,
ἀθληταὶ γενναιότατοι,
Παναγία Μῆτερ Μαχαιριώτισσα,
ὁ θεοφόρος Γεννάδιος,
καὶ σύμφρων Γεράσιμος,
ἔνθα τρίβον ἀρετῆς,
διανύσαντες ἔτυχον,
καὶ ἀθλήσεως,
ὑπὲρ πίστεως πατροπαραδότου,
τὴν καινὴν ἀζύμων πλάνην,
ἐν Λευκωσίᾳ ἐλέγξαντες.

Τὴν στολὴν τῆς ἀσκήσεως,
ἐπεχρώσατε Ὅσιοι,

δι᾽ αἱμάτων θείων ὁμολογήσαντες,
ὅτι ἐν ἄρτῳ εἰλήφαμεν,
τελεῖν τὸ μυστήριον,
Λειτουργίας τῆς φρικτῆς,
φανεροῦντες τὸ τέλειον,
τῆς σαρκώσεως,
τοῦ  Κυρίου ἑπόμενοι τῇ πράξει,
ἐν τῷ θείῳ ῾Υπερώῳ,
Δεῖπνον τελέσαντος ἔσχατον.

Οὐκ ἐξίσχυσαν Ἅγιοι,
φυλακῆς τὰ παθήματα,
ἀσιτία πλήρης, ράβδων τὰ τύμματα,
καὶ ὑποσχέσεις εὐχάριστοι,
κλονίσαι εὐπάρεδρον,
τῆς ἀγάπης πρὸς Χριστόν,
ἀλλὰ πλέον ἐνίσχυσαν,
θεῖον ἔρωτα·
διὸ ἵπποι καὶ πῦρ τὸ ἀδηφάγον,
προεκάλεσαν τὰ στέφη,
τὰ οὐδαμῶς μαραινόμενα.

Τὸν χορὸν εἰκονίσαντες,
᾽Αποστόλων πανεύφημοι,
πίστιν τὴν ᾽Ορθόδοξον ἐκηρύξατε,
καὶ γραφικῶς ἀπελέγξαντες,
λατίνων τὰ ἄζυμα,
πρὸ τυράννων δυσμενῶν,
ταχυδρόμως εἰλήφατε,
τὸν παράδεισον,
ἐν τοῖς ἵπποις δεθέντες ἀπανθρώπως,
καὶ πυρὶ παραδοθέντες,
τῆς νήσου Κύπρου καυχήματα.
Φωτισθέντες τῷ Πνεύματι,
γλωσσαλγίας ἀσέβειαν,

ἀνδρικῶς ἠλέγξατε παμμακάριστοι,
σὺν Γενναδίῳ Γεράσιμε,
καὶ γέρας ἐφεύρατε,
Ἄρτον ὄντως ἀληθῆ,
Οὗ τρυφῶντες ἐν πράγμασι,
καὶ οὐ φάσμασι,
τῆς Μονῆς Μαχαιρᾶ ὡς ταύτης τέκνα,
καὶ τῶν ὧδε φιλαδέλφως,
ἐνασκουμένων μιμνήσκεσθε.

Δόξα. Ἦχος πλ.β.

Τὸν τῆς ἀσκήσεως σταυρόν, καλῶς Πατέρες ᾄραντες,
ἐν τῇ σεπτῇ Μάνδρᾳ τοῦ Μαχαιρᾶ,
καὶ τὸ μαρτύριον ὑπὲρ τῆς πίστεως, θαυμασίως ἐτελέσατε·
οὐ γὰρ ὑπεμείνατε βλέποντες τὴν πατρικὴν ὁμολογίαν
ἀσεβῶς καινοτομεῖσθαι,
ἀλλὰ τὴν ψυχοσώτειραν Ὀρθοδοξίαν,
πρὸ τῶν ἀζυμιτῶν ἀφόβως ἐκηρύξατε.
Ὅθεν Γεράσιμε ἔνδοξε καὶ θεῖε Γεννάδιε,
ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν μαρτυρικῶς μετατεθέντες,
πρεσβεύσατε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
(γ' 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
## (ε' 15 - στ' 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῶν καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
## (δ' 7 - 15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*

Ἦχος α'.

Πνευματικὴν τράπεζαν καὶ εὐωχίαν εὐφρόσυνον,
συνεστήσατε ἡμῖν ὁσιόαθλοι Πατέρες, Γεννάδιε καὶ Γεράσιμε.
Καλῶς γὰρ φυραθέντες ἐν Ἁγίῳ Πνεύματι,
ἄρτος ἐδείχθητε καλός τῷ Ἄρτῳ τῆς ζωῆς·
διὸ καὶ εὐθαρσῶς ἀπελέγξαντες τὴν καινοτομίαν τῶν ἀζύμων,
μέτοχοι γεγόνατε τοῦ οὐρανίου δείπνου τῆς ἄνω Σιών,
ἔνθα μὴ παύσητε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Υἱοὶ φωτὸς γενόμενοι Γεράσιμε πάτερ καὶ Γεννάδιε τίμιε,
οὐχ ὑπεμείνατε τὴν ἀχλυώδη πλάνην τῶν ἀζύμων,
λυμαίνεσθαι τὴν πίστιν τῶν ὀρθοδόξων Κυπρίων·
ὅθεν ζήλῳ πυρούμενοι, αὐτόκλητοι προσήλθετε τοῖς ἀσεβέσι τυράννοις,
καὶ ἀνατρέψαντες τὸ καινοφανὲς τῆς τούτων αἱρέσεως,
ἐν τῷ μαρτυρίῳ τοῦ αἵματος,
τὴν Νῆσον ἡμῶν μεγάλως ηὐφράνατε,
ὑπὲρ ἧς ὡς φιλοπάτριδες ἐκτενῶς πρεσβεύσατε ἅγιοι.

Ἦχος γ'.

Ἐν τοῖς συμβόλοις διαβλέποντες τὴν ὑποκρυπτομένην ἀλήθειαν,
μεγάλως ὑπερεμαχήσατε Πατέρες θεόφρονες,
ὑπὲρ τοῦ Ἄρτου τῆς ζωῆς.
Οὐ γὰρ ἐν ἀζύμοις, ἐκράζετε, ἡ τῆς Ἐκκλησίας προσφορά,
ἀλλ᾽ ἐν τελείῳ ἄρτῳ πεφυραμένῳ τε καὶ ἐψημένῳ.
Οὕτω παρελάβομεν τὸ μυστήριον τελεῖν,
οὕτω καὶ παραδώσομεν τοῖς μεθ᾽ ἡμᾶς ἐπερχομένοις.
Ἀκαινοτόμητος ἡ πίστις τοῦ Χριστοῦ,
ἐν ᾗ ἐγεννήθημεν καὶ ὑπὲρ ἧς, ὦ ψευδάδελφοι, ἀποθανούμεθα.

Ἦχος δ'.

Πρὸ τῶν ἀσεβούντων ὡς κακοῦργοι ἱστάμενοι,
οὐκ ἐδειλιάσατε ποσῶς, Πατέρες τρσόλβιοι·
ἀλλὰ τοῦ Πνεύματος τῇ δυνάμει μεγάλως ἐθεολογήσατε,
καὶ τῇ αὐτοσχεδίῳ ἀπολογίᾳ,
τὰς αἱρετικὰς ἐρεσχελείας κατηδαφίσατε.
Διὸ καὶ ὡς εἰς ὦτα ἀσπίδων ᾄσαντες,
διὰ τῶν ἵππων καὶ πυρὸς μαρτυρικῶς ἐτελειώθητε.
Πρεσβεύσατε οὖν δεόμεθα τῷ Δεσπότῃ Χριστῷ,
ὅπως δῷ καὶ ἡμῖν, τὸ πῦρ τῆς ἀγάπης Αὐτοῦ ἐν ταῖς ψυχαῖς
ἀείφλεκτον.

Δόξα. Ἦχος πλ.α'.

Τῇ εὐσεβείᾳ ἐκ παίδων συντραφέντες,
καὶ τὴν πατροπαράδοτον πίστιν καλῶς καταμαθόντες,
Γεράσιμε θεῖε καὶ ὅσιε Γεννάδιε, μεγάλως ἠνιάθητε,
ὁρῶντες ταύτην καινοτομουμένην ἀσεβῶς.
Ὅθεν γενναίως ὑπερμαχήσαντες ἔργοις καὶ λόγοις,
μέτοχοι ἐγένεσθε καὶ τῶν μαρτύρων τοῦ αἵματος,
καὶ νῦν ὀφειλητικῶς πρεσβεύετε τῷ Κυρίῳ ἀπαύστως,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὑπὲρ τῆς Νήσου καὶ τῆς Μονῆς ἡμῶν, Μαχαιριῶται χριστόστεπτοι καὶ μακάριοι.

Καὶ νῦν. Τῆς ἑορτῆς.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

*Στιχηρὰ προσόμοια. Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις σεπτὴ Μονὴ Μαχαιρᾶ,
τοῦ μαρτυρίου συνειδήσεως στάδιον·
ἐν σοὶ γὰρ ἐθελοθύτως,
οἱ ναζιραῖοι Χριστοῦ,
τὸν σταυρὸν ἐπ᾿ ὤμων,
πόθῳ αἴρουσι.
Μεθ᾿ ὧν οἱ τρισόλβιοι,
καὶ κλεινοὶ ὁσιόαθλοι,
Γεράσιμός τε,
καὶ Γεννάδιος πάντιμος,
οἱ ἐλέγξαντες,
τῶν ἀζύμων τὸ ἄθεσμον·
ὅθεν καὶ στέφος ἔλαβον,
ἀθλήσεως σύνδυο,
παρὰ τοῦ πάντων Δεσπότου,
ὡς τούτῳ δόντες τὰ αἵματα,
καὶ χεῖρας ὑψοῦσιν,
φιλοστόργως οἱ γεννάδαι,
ὑπὲρ τῶν τέκνων σου.

*Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χάριν ἐκ τοῦ Θεοῦ εἰληφώς,
τερπνὰ τοῦ κόσμου ἀπηρνήσω Γεννάδιε,
καὶ κλίνας τὸν σὸν αὐχένα,
ἐν τῇ Μονῇ Μαχαιρᾶ,
δρόμον ἀνελάβου τῆς ἀσκήσεως·



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

νηστείᾳ τρεφόμενος,
ἀγρυπνίᾳ ἱστάμενος,
καὶ ὑπακούων,
τοῦ ἐχθροῦ ἀπεμάρανας,
τὰ βουλεύματα,
καὶ τὰ βέλη μακάριε.
Ὅτε δὲ εἶδες αἵρεσιν,
τὴν πίστιν προσβάλλουσαν,
δραμὼν ὡς λέων θεόπνους,
ταύτην σοφῶς διεξήλεγξας,
καὶ στέφος ἐδέξω,
μαρτυρίου ἐκ Κυρίου,
σὺν τοῖς συνάθλοις σου.

*Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

Γέρας εἶ τῆς Μονῆς Μαχαιρᾶ,
καὶ πάσης Κύπρου
θεοφόρε Γεράσιμε·
συμμείξας γὰρ τῇ ἀσκήσει,
ὁμολογίαν σοφῶς,
πίστιν Ὀρθοδόξων διετράνωσας·
τὰ ἄζυμα ἤλεγξας,
ὡς τῷ πίστει ἀλλότρια,
καὶ παραδόσεις,
ἀνθρωπίνας ἀνέτρεψας,
φωτιζόμενος,
τῇ δυνάμει τοῦ Πνεύματος.
Ὅθεν μὴ ὑποφέροντες,
ἐλέγχους ψευδάδελφοι,
προσέδησάν σε ἐν ἵπποις,
καὶ τῷ πυρὶ ἐναπέῤῥιψαν,
δεικνύντες σε μέγαν,
πρεσβευτὴν τῶν Ὀρθοδόξων,
ἀειμακάριστε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δόξα. Ἦχος πλ. δ'.

Τῇ θεοφιλεῖ φιλαδελφίᾳ χορὸν Ὀρθοδοξίας συγκροτήσαντες,
τῶν ψευδαδέλφων τὴν αἱρετίζουσαν πλάνην θεολογικῶς ἀπηλέγξατε,
σὺν τοῖς ὁμοψύχοις πατράσι τῆς Καντάρας,
Γεννάδιε μακάριε, καὶ Γεράσιμε θεόφρον·
ὅμως ὁ πατὴρ τοῦ ψεύδους μεγάλως φέρων τὴν ἧτταν,
τὸν δεινὸν θάνατον ὑμῶν τοῖς πλανωμένοις ὑπηγόρευσεν.
Ὅθεν μάρτυρες γενόμενοι τῆς συνειδήσεώς τε καὶ τοῦ αἵματος,
τὴν Ἐκκλησίαν τῆς Κύπρου πορφυρωτέραν ἀνεδείξατε·
ὑπὲρ ἧς Ὁσιόαθλοι φιλοστόργως ἀεὶ πρεσβεύσατε,
καὶ ὅσοι τιμῶσιν τὴν χαροπάροχον ὑμῶν ἄθλησιν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.

*Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*
Τὴν Ὀρθόδοξον πίστιν πρὸ Λατίνων κηρύξαντες,
καὶ τὴν τῶν ἀζύμων νοθείαν,
γραφικῶς ἀπελέγξαντες,
πυρὶ προσωμιλήσατε φρικτῷ,
Γεράσιμε Γεννάδιε στεῤῥῶς·
ὅθεν Μάνδρα ἡ πανεύφημος Μαχαιρᾶ,
εὐφραίνεται κραυγάζουσα·
δόξα τῷ ἐνισχύσαντι ὑμᾶς,
δόξα τῷ στεφανώσαντι,
καὶ θείους πρέσβεις πρὸς Αὐτόν,
ὑμᾶς ἐμοὶ δωρήσαντι.

*Ἕτερον ὅμοιον, τὸ ἐν τῷ μικρῷ ἑσπερινῷ.*

Τὴν Ὀρθόδοξον πίστιν διατόρως κηρύξαντες,
καὶ τὴν ψυχολέτειραν πλάνην,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν Λατίνων ἐλέγξαντες,
γενναίως κατεβάλετε ἐχθρόν,
καὶ στέφος ἀπειλήφατε λαμπρόν,
μαρτυρίου τῶν πατέρων δυὰς σεπτή,
Γεννάδιε, Γεράσιμε.
Ὅθεν Μονὴ τοῦ Μαχαιρᾶ,
μνήμην ὑμῶν γεραίρουσα,
δόξαν προσάγει τῷ Χριστῷ,
ὑμᾶς τῷ στεφανώσαντι.

*καὶ τῆς ἑορτῆς*

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

*Εἰς τὴν α΄ στιχολογίαν.*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.*

Μονῆς τοῦ Μαχαιρᾶ,
ἀνεδείχθητε δόξα,
καὶ Κύπρου πρὸς Θεόν,
ἰσχυρότατοι πρέσβεις,
Γεννάδιε πάντιμε,
καὶ Γεράσιμε ἔνδοξε,
τὴν Ὀρθόδοξον,
ὁμολογήσαντες πίστιν,
καὶ τὴν αἵρεσιν,
ἀζυμιτῶν καθελόντες,
δυνάμει τοῦ Πνεύματος.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὴν β΄ στιχολογίαν.*
*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἐπιποθήσαντες, τὸν ὡραιότατον,

Κύριον Ὅσιοι, καθυπετάγητε,
Μονῇ Παρθένου Μαχαιρᾶ,
ἀσκήσει ἐκκαθαρθέντες·
ὅθεν πλάνην βλέποντες,
τῶν ἀζύμων ἀκμάζουσαν,
ταύτην ἀπηλέγξατε,
γραφικαῖς ἀποδείξεσι·
διὸ καὶ μαρτυρίου τυχόντες,
ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύσατε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον.*
*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Χαίρει Μάνδρα σήμερον,
τῆς Θεοτόκου,
ἄθλησιν πανίερον,
ἐπιτελοῦσα τὴν ὑμῶν,
Γεννάδιέ τε Γεράσιμε,
καὶ νῆσος Κύπρος,
ἐνθέως εὐφραίνεται.
*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.* Ἐκ νεότητος μου.
*Προκείμενον·* Τίμιος ἐναντίον Κυρίου...
*Στίχος· Τί ἀνταποδώσομεν τῷ Κυρίῳ....*
*Εὐαγγέλιον, τὸ τοῦ ὄρθρου τῆς ϛ΄ Νοεμβρίου·*
Πᾶς ὅστις ὁμολογήσει...
Ὁ Ν΄. Ἐλέησόν με ὁ Θεός....
*Δόξα.* Ὁσιομαρτύρων, πρεσβείαις, Ἐλεῆμον...
*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

*καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.β.*
*Στίχ. Ἐλέησόν με ὁ Θεός....*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅτε ἀχλὺς ἀζυμιτῶν, ἐκάλυψε τὴν Κύπρον,
τότε Πατέρες ἐκ ψυχῆς,
Ὀρθοδοξίας τὰ δόγματα ἀκαταμαχήτως ἐκηρύξατε·
καὶ τὴν λατινικὴν πλάνην ἀπελέγξαντες σοφῶς,
στέφος εἰλήφατε τοῦ μαρτυρίου·
διὸ ὡς παῤῥησίαν ἔχοντες πρὸς Χριστόν,
πρεσβεύσατε δεόμεθα,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.

*Οἱ Κανόνες· πρῶτον ψάλλομεν τὸν τῆς ἑορτῆς καὶ εἶτα τὸν ἀκόλουθον τῶν Ὁσίων, οὗ ἡ ἀκροστιχίς:*
**"Γεράσιμον, Γεννάδιον Μαχαιριώτας ᾄσω. Ἀ(θανάσιος)".**

*Ὠιδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.*

Γνησιώτατά σου τέκνα ἡ Μονὴ Μαχαιρᾶ,
γέραιρε θείοις ὕμνοις·
καὶ γὰρ γενναίως ἀχλύν,
τῆς αἱρέσεως σοφῶς, καθεῖλον δεινήν,
Γεράσιμος πάντιμος,
καὶ γεννάδας Γεννάδιος.
Ἐκλεξάμενοι ἀσκῆσαι τὴν Μονὴν Μαχαιρᾶ,
ἔρωτι θείου βίου,
τὴν Θεοτόκον συνεργόν,
ἐν ἀγῶσι μυστικοῖς εὑρόντες ἀεί,
ἀλήθειαν πίστεως,
ἐκηρύξατε πάνσοφοι.

Ῥητορείας τῶν Λατίνων καθελόντες σοφῶς,
τὰς ψυχολετηρίους,
παραδοθεῖσαν ἡμῖν,
πίστιν θεῖοι ἀθληταὶ γενναίᾳ φωνῇ,
ὁμοῦ ἐκηρύξατε,

καὶ ὁμοῦ ἐνηθλήσατε.

Θεοτοκίον

᾿Αγαλλόμενοι τοὺς ὕμνους σοὶ προσφέρομεν νῦν,
παῖδές σου Θεοτόκε,
ὅτι πρεσβείαις θερμαῖς,
ἀθλητὰς περιφανεῖς καὶ κλέος Μονῆς,
ἡμῶν ἀναδέδειχας,
συμμονάζοντας Δέσποινα.

᾿Ωιδὴ γ΄. Δεῦτε πόμα.

Στῶμεν ἐν τοῖς δόγμασι καλῶς,
ἃ Πατέρες κατέλιπον κλῆρον ἔνθεον,
ἀνεφωνεῖτε λαμπρῶς,
Γεράσιμε θεῖε ἀσκητά,
καὶ Γεννάδιε σύμψυχε.

῞Ιωμεν κρατοῦντες ἀσφαλῶς,
ὀρθοδόξων δογμάτων πίστιν τὴν σ÷ˇώζουσαν,
ἀζυμιτῶν δὲ ἀχλύν,
ὡς πῦρ ἀποφύγωμεν σοφῶς,
Πατέρες ἐκράζετε.

Μείνωμεν τῇ χάριτι Χριστοῦ,
ὡς ψυχὴ μία πάντες οἱ ῾Οσιόαθλοι,
καὶ μὴ προδῶμεν κυσί,
τὰ ἅγια φόβῳ τῶν δεινῶν,
ἐλέγετε ῞Αγιοι.

Θεοτοκίον

Οὗτος ὁ καλὸς συνασπισμός,
᾿Ορθοδόξων πατέρων Παρθένε ῎Αχραντε,

σὸς κλῆρος ἔστι δι᾿ οὗ,
λατίνων ἡ πλάνη πατρικῶς,
σφοδρῶς τε ἐλήλεγκται.

*Κάθισμα. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.*

Ἐκκλησίας δογμάτων ὑπερμαχήσαντες,
σὺν σοφῷ Γενναδίῳ κλεινὲ Γεράσιμε,
καὶ τοῖς ἄλλοις ἀσκηταῖς πλάνην ἐλέγξαντες,
τῶν ἀζύμων γραφικῶς καὶ ἐδείξατε σαφῶς,
τὴν πρᾶξιν τὴν πρὸ αἰώνων,
ᾗ ἐφεπόμενοι πίστει,
τὴν σωτηρίαν βεβαιούμεθα.

*Δόξα. καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ὠιδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.*

Νενικηκὼς τὰς δολερὰς παγίδας πάσας τοῦ ἐχθροῦ,
πρότερον ἐν ἀσκήσει,
καὶ ἐν ἀθλήσει σοφισθείς,
κατεστέφθης κεφαλήν,
ὡς μάρτυς στεῤῥός,
Γεννάδιε πάνσοφε,
ὁ Χριστὸς γὰρ συνήργει σοι.

Γίνου πιστὸς ἀκηκοὼς μέχρι θανάτου καὶ καλόν,
ἕξεις βραβεῖον μέγα,
τὴν ἐπουράνιον ζωήν,
κατεπάλαισας ἐχθρόν,
δυνάμει Χριστοῦ,
κλεΐσας, Γεράσιμε,
ἱεράν σου Μετάνοιαν.

Ἐρηρεισμένοι ἀσφαλῶς τῇ Ὀρθοδόξῳ διδαχῇ,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πλάνην δεινὴν λατίνων,
ὡς θεολόγοι πρακτικοί,
κατησχύνατε λαμπρῶς,
Πατέρες κλεινοί,
Γεννάδιε πάντιμε,
καὶ Γεράσιμε σύναθλε.

*Θεοτοκίον*

Νοῦν καὶ καρδίαν σῶν βλαστῶν Μαχαιριώτισσα σεμνή,
κάθαιρε θείᾳ μνήμῃ,
τοῦ γλυκυτάτου σου Υἱοῦ,
καὶ παράδεισον τερπνόν,
Μονὴν ἱεράν,
τὴν σὴν ἐναπόδειξον,
τῷ Δεσπότῃ πρεσβεύουσα.

*Ὠιδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Νοσήσαντας πλάνην λατίνους,
ἀνδρειοφρόνῳ ἐνστάσει ἠλέγξατε θεοφόροι,
οὐ καλόν κραυγάζοντες,
μεταίρειν ὅρους ἄνθρωποι,
οὓς οἱ Πατέρες ἐν Πνεύματι ἔθεντο.

᾿Ανύσαντες πάσας βασάνους,
τῶν ψευδαδέλφων φρατόρων ἡγιασμένοι,
στέφος ἀπειλήφατε,
ἀθλήσεως ἀμάραντον,
ὀπίσω ἵππων δεινῶς ἐκσυρόμενοι.

Διδάσκουσι πάντες Πατέρες,
τὴν χρῆσιν ἄρτου ἐνζύμου ἐν Λειτουργίᾳ,
καὶ πῶς ὑμεῖς θέλετε,
καινοτομεῖν τὰ ἄθεσμα;

πρὸς τοὺς λατίνους οἱ Ὅσιοι ἔλεγον.

Θεοτοκίον

Ἰάθη τῷ θείῳ σου τόκῳ,
ἡ τῶν ἀνθρώπων πεσοῦσα φύσις Παρθένε,
καὶ πανηγυρίζουσα,
ὕμνον σοι εὐγνώμονα,
ἀνακραυγάζει ἀεὶ καὶ δοξάζει σε.

Ὠιδὴ Ϛ'. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Οὐδόλως, τῶν πατρικῶν μακρυνθείς,
παραδόσεων Γεννάδιε μάκαρ,
προσῆξας ὡς προσφορὰν σεαυτόν,
τῷ Δεσπότῃ σου,
καὶ ἐκύρωσας,
δι᾿ αἱμάτων σοφέ,
τὴν πρὸς τοῦτον ἀγάπην.
Νεκρώσας, ἐπιθυμίας κακάς,
ἐνδέδυσαι Γεράσιμε Χάριν,
διὸ ἀληθεύων κατηγώνισαι,
ὑπὲρ πίστεως,
καὶ ἐνήθλησας,
ἄχρι τέλους καλῶς,
ὡς Χριστοῦ στρατιώτης.

Μαρτύρων, ἀριθμηθέντες χορῷ,
καὶ κτησάμενοι πολλὴν παῤῥησίαν,
Μονῆς Μαχαιρᾶ μνημονεύετε,
ἐν ᾗ τίμιον,
ἀνειλήφατε,
Σχῆμα τὸ μοναχικόν,
ζεῦγος θείων Πατέρων.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον*

᾿Ανάστασιν, ἐχαρίσω ἡμῖν,
Θεοτόκε τῷ πανάγνῳ σου τόκῳ,
διὸ εὐφραινόμενοι κραυγάζομεν,
ἀπολαύοντες,
θείας Χάριτος·
χαῖρε Κόρη ῾Αγνή,
ἡ ζωὴ τῶν ἀνθρώπων.

*Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Συσταυρωθέντες τῷ Κυρίῳ ἀσκήσει,
ἐν Μαχαιρᾷ τῇ θείᾳ Μάνδρᾳ Πατέρες,
Γεράσιμε Γεννάδιε ἠθλήσατε στεῤῥῶς,
πλάνην ἀπελέγξαντες τῶν δυσθέων Λατίνων,
καὶ ὁμολογήσαντες,
τὴν ᾿Ορθόδοξον πίστιν·
διὸ στεφθέντες νῦν ἐν οὐρανοῖς,
ἀεὶ αἰτεῖσθε,
ἡμῖν θεῖον ἔλεος.

***Ο Οἶκος***

Τὴν τελειότητα Χριστοῦ ποθήσαντες ἐνθέως,
ἐν τῇ Μονῇ τοῦ Μαχαιρᾶ ἠσκήσατε μακάριοι·
ἰδόντες δὲ ἀκμάζουσαν τὴν πλάνην τῶν ἀζύμων,
σοφῶς ἀνηρέσατε ταύτην σὺν τοῖς λοιποῖς συναθληταῖς,
Γεράσιμε πάνσοφε καὶ Γεννάδιε τρισόλβιε.
῞Οθεν τοῖς ἵπποις ἀγρίως προσδεθέντες,
καὶ τῷ πυρὶ ὑπὸ τῶν λατίνων ἀπανθρώπως παραδοθέντες,
ὡς ἄριστοι ἀθληταὶ παρὰ Κυρίου ἐστέφθητε,
καὶ ἐν χαρᾷ εἰσεληλύθατε εἰς τὸν τερπνὸν καὶ γλυκὺν Παράδεισον,
ἔνθα ὡς φιλάδελφοι ἀεὶ αἰτεῖσθε,

ἡμῖν θεῖον ἔλεος.

***Τὸ Συναξάριον***

**Τῇ ΙΘ' τοῦ μηνὸς Μαΐου μνήμην ἐπιτελοῦμεν τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν Γενναδίου καὶ Γερασίμου, τῶν Μαχαιριωτῶν, ὁμολογησάντων τὴν Ὀρθοδοξίαν μετὰ καὶ τῶν λοιπῶν ἕνδεκα Κανταριωτῶν Πατέρων, πρότερον μὲν πολλῶν βασάνων ὑποστάντων καὶ ἐν τέλει δὲ πυρὶ συμμαρτυρησάντων, ὑπὸ τῶν αἱρετιζόντων ψευδαδέλφων Λατίνων, ἐν Λευκωσίᾳ, κατὰ τὸ σωτήριον ἔτος 1231.**

*Στίχοι*

*Γέρας, γεννάδαι, φίλης Ὀρθοδοξίας,*
*Ἐκ Χριστοῦ εἰλήφατε, Μαχαιριῶται.*
*Δεκάτῃ τ' ἐννάτῃ Μαΐου φαιδρῶς ἤθλησαν Μαχαιριῶται.*

***Ὑπόμνημα***

*Ὅτε ἡ Μεγαλόνησος Κύπρος ἐτέλει ὑπὸ τὸν ζυγὸν τῶν Φράγκων, μεγάλος ἠγέρθη σάλος ὑπὸ τῶν αἱρετιζόντων κηρύκων -"πρεντικατόρων"οὕτως καλουμένων- αὐτῶν, ὑποστηριζόντων πρὸς ταῖς ἄλλαις καινοφανέσι πλάναις καὶ τὴν ἐν τῇ Θείᾳ Λειτουργίᾳ χρῆσιν τοῦ ἐκθέσμου ἀζύμου ἄρτου.*

*Τότε δέκα τρεῖς Ὁσιώτατοι Πατέρες, ἕνδεκα ἐκ τῆς Ἱερᾶς Μονῆς Καντάρας, ὧν τὰ ὀνόματα Ἰωάννης, Κόνων, Ἰερεμίας, Μᾶρκος, Θεόκτιστος, Βαρνάβας, Μάξιμος, Θεόγνωστος, Ἰωσὴφ καὶ Γερμανός καὶ δύο ἐκ τῆς εὐαγοῦς καὶ βασιλικῆς Μάνδρας τοῦ Μαχαιρᾶ, ὅ τε ἱερὸς Γεννάδιος καὶ ὁ θεῖος Γεράσιμος, ζήλῳ πολλῷ ἐμπλησθέντες ἀνήρουν γραφικῶς τὴν τοιαύτην αἵρεσιν στηρίζοντες τοὺς Ὀρθοδόξους Κυπρίους ἐμμένειν ἀδιασείστως τοῖς πατρῴοις δόγμασι τῆς ἀληθοῦς πίστεως. Ὅθεν συλληφθέντες ὑπὸ τῶν λατίνων καὶ ἐγκλεισθέντες ἐν φυλακῇ τῆς Λευκωσίας, ἐν μακρῷ χρόνῳ πολλάκις ἐπιέζοντο ὅπως προσχωρήσωσιν τῇ λατινικῇ πλάνῃ. Τούτων, ὅμως, στεῤῥῶς ἐρηρεισμένων τῇ Ὀρθοδοξίᾳ καὶ θεοφωτίστως ἀναιρεσάντων πρὸ*


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*πλήθους πολλοῦ τὰς αἱρετικὰς δοξασίας, πρῶτον μὲν ἐλιθοβολήθησαν εἶτα δὲ προσεδέθησαν ὄπισθεν ἀγρίων ἵππων, καὶ βιαίως διασυρθέντες διὰ τῆς κοίτης τοῦ Πεδιασίμου ποταμοῦ ἕως ἄκρου Λευκωσίας, οἰκτρῶς καταμελίσθησαν καὶ ἐναπεῤῥίφησαν τέλος ἐν πυρὶ λαυροτάτῃ, τῇ 19η Μαΐου τοῦ ἔτους 1231, προσενχθέντες οὕτω θυσία εὐάρεστος καὶ ὁλοκαυτώσεως τῷ Δεσπότῃ καὶ Θεῷ ἡμῶν, πρόσθεσις ἀρίστη γενόμενοι τῇ πλειάδι τῶν Κυπρίων Ἁγίων καὶ ἀθλητῶν τῆς Ὀρθοδόξου καὶ θεοπαραδότου Πίστεως ἡμῶν.*

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας.

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

*Ὠιδὴ ζ΄. Ὁ Παῖδας ἐκ καμίνου.*

Χαρᾶς Ἐκκλησίαν ἐπλήρωσας,
Γεννάδιε ὅσιε,
ὅτε γραφικῶς,
πλάνην ἐξήλεγξας δεινήν,
καὶ μαρτύρων συμμέτοχος γέγονας,
μεθ᾽ ὧν τὸν Δεσπότην,
ὑμνεῖς εἰς τοὺς αἰῶνας.

Ἀζύμων τὴν χρῆσιν οὐκ ἔγνωμεν,
Γεράσιμε εἴρηκας,
πρὸ σῶν δικαστῶν,
ἀλλὰ ὡς ἔθος πατρικόν,
διὰ ἄρτου τελοῦμεν τὰ ἅγια,
ὑμνοῦντες Δεσπότην,
τὴν σάρκα ἐνδυθέντα.

Ἰάσασθε πλάνην ὦ φράτορες,
καὶ ταύτης ἀπόστητε,
ἔφατε ὁμοῦ,

δυὰς Ὁσίων ἱερῶν,
ὀρθοδόξως τὸ δόγμα ἐκθέμενοι,
γενόμενοι τύποι,
πιστῶν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Ῥημάτων ἀποροῦντες Πανάχραντε,
τὸ Χαῖρέ σοι κράζομεν,
ὅπερ Γαβριήλ,
ἐν Ναζαρὲτ χαροποιῶς,
προσενήνοχε θεῖον προσφώνημα,
δι᾽ οὗ καὶ ἡμεῖς σε,
τιμῶμεν εἰς αἰῶνας.

Ὠιδὴ η'. Αὕτη ἡ κλητή.

Ἵνα κοινωνοὶ τοῦ ὀγδόου αἰῶνος,
φανῆτε ἀθλοφόροι,
ἠνδρίσασθε γενναίως,
καὶ βασάνους πολλάς,
ὑποστάντες ἀξίως ἐστέφθητε,
Χριστὸν εὐλογοῦντες,
εἰς πάντας τοὺς αἰῶνας.

Ὥσπερ λογικὰ ἱερεῖα Πατέρες,
ἐτύθητε Κυρίῳ,
τηρήσαντες τὴν πίστιν,
ἣν ὡς κλῆρον καλόν,
προβαλλόμενοι κατὰ τῆς αἱρέσεως,
σύγκληροι μαρτύρων,
ἐγένεσθε δικαίως.

Τρισδεκακικῆς θεολέκτου χορείας,
συμμέτοχοι ὀφθέντες,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐν πίστει καὶ ἀθλήσει,
ἐντρυφᾶτε τρανῶς,
τῆς χαρᾶς Παραδείσου θεόφρονες,
Χριστὸν καθορῶντες,
εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον*

Αὕτη ἡ δυὰς τῶν Ὁσίων Πατέρων,
καρπὸς Μονῆς ὑπάρχει,
τῆς σῆς Θεοκυῆτορ,
Οὓς συμπρέσβεις ἀεί,
ὑπὲρ Μάνδρας σου Μῆτερ παράλαβε,
ταύτην εὐλογοῦσα,
ἕως αἰώνων τέλους.

*Ὠιδὴ θ'. Φωτίζου, φωτίζου.*

Σφραγίδι αἱμάτων,
ἐβεβαιώσατε ὁμοῦ,
τὴν Κυρίου ἀγάπην,
θεῖοι Ὁσιόαθλοι,
καὶ ὡς δρομεῖς Βασιλείας Χριστοῦ,
ὄπισθεν τῶν ἵππων,
κατεμελίσθητε θεόφρονες.

Ἀπόλαβε Πάτερ,
γέρας ζωῆς ἀληθινῆς,
ἣν Χριστός δέδωκέ σοι,
ἀντὶ τῆς ἀθλήσεως,
καὶ Ὀρθοδόξοις γενοῦ πρεσβευτής,
πᾶσι σωτηρίαν,
ἐπιβραβεύων Γεράσιμε.

Στεῤῥὸς ἐν ἀγῶσι,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀναφανεὶς Πάτερ κλεινέ,
συνειδήσεως πρῶτον,
εἶτα καὶ ἀθλήσεως,
εἴληφας στέφος διπλοῦν ἐκ Θεοῦ,
Ὅν περ ἐξιλέου,
ὑπὲρ ἡμῶν πάτερ Γεννάδιε.

Ὡς πρόσθεσις θεία,
δυὰς Ὁσίων Μαχαιρᾶ,
τοῖς Ἁγίοις τῆς Κύπρου,
θαυμαστὴ γεγόνατε,
μεθ᾽ ὧν πρεσβείας ποιεῖτε Χριστῷ,
ὑπὲρ αὐτῆς,
ὅπως ἐν εἰρήνῃ,
καὶ μετανοίᾳ πορεύηται.

*Θεοτοκίον*

Ἀγάλλου, εὐφραίνου,
σεπτὴ Μονὴ τοῦ Μαχαιρᾶ,
σὺν Δεσποίνῃ γὰρ ἔχεις,
πρέσβεις τοὺς Ὁσίους σου,
Οὓς πρὸς Δεσπότην προσάγουσα, αἴτει ἡμῖν,
ἄφεσιν πταισμάτων,
καὶ τὴν ζωὴν τὴν αἰώνιον.

*Ἐξαποστειλάριον*
*Ἦχος β'. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Θείῳ φωτὶ λαμπόμενοι,
διελύσατε σκότος,
αἱρέσεως θεόφρονες,
ἀπελέγξαντες πλάνην,
Γεράσιμε θεοφόρε,
καὶ Γεννάδιε μάκαρ·



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

διὸ ἐβασανίσθητε,
ὑπὸ τῶν ψευδαδέλφων,
σὺν τοῖς λοιποῖς,
ὄπισθεν δεθέντες ἀγρίων ἵππων,
καὶ ἐν πυρὶ παφλάζοντι,
ἀπειλήφατε στέφος.

*Ἕτερον. Ἦχος γ'. Φῶς ἀναλλοίωτον.*

Κεκαθαρμένοι ἀσκήσει,
Πνεύματος σκεύη θαυμαστά,
Πατέρες ἀναδειχθέντες,
πίστιν Ὀρθόδοξον τορῶς,
ἀνεκηρύξατε στέφος,
εἰλήφατε μαρτυρίου.

καὶ τῆς ἑορτῆς.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

*Ψάλλομεν δ' στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.δ'. Ὢ τοῦ παραδόξου θαύματος.*

Θείᾳ ἀγάπῃ κινούμενοι,
εἰς τὴν Μονὴν Μαχαιρᾶ,
θεοδίψαστοι ἤλθετε,
πάντιμε Γεννάδιε,
καὶ θεόφρον Γεράσιμε,
ζυγῷ Κυρίου αὐχένας κλίναντες,
καὶ συνειδήσει ἀθλοῦντες ἄριστα·
ὅτε δὲ αἵρεσις,
τῶν ἀζύμων ἔπνευσε Νήσῳ ἡμῶν,
ταύτην διελύσατε,
ὥσπερ νεφύδριον.

Τῶν πατρικῶν παραδόσεων,
ἀναδειχθεὶς μαχητής,
πρὸ λατίνων ἐκήρυξας,
Ὀρθοδόξων δόγματα,
ὥσπερ σάλπιγξ θεόφθογγος·
διὸ μαστίγων καὶ φυλακίσεων,
πεῖραν ἐδέξω,
πάτερ Γεννάδιε,
πρὸ τῶν ὀμμάτων σου,
ἔχων τὰ σωτήρια πάθη Χριστοῦ,
δι᾽ Ὃν τέλος εἴληφας,
πάνδεινον θάνατον.

Τῇ ἐπιπνοίᾳ τοῦ Πνεύματος,
κατελλαμφθεὶς τὴν ψυχήν,
θεολόγος τρανόστομος,
ὅσιε Γεράσιμε,
ἀνεδείχθης τοῖς αἵρεσιν,
τὴν τῶν ἀζύμων διακηρύττουσι,
καὶ τὴν πατρῴαν πίστιν μολύνασι·
ὅθεν ὑπέμεινας,
καρτερῶς μαρτύρια καὶ φυλακήν,
μείνας ἀκατάσειστος,
μάρτυς τῆς Πίστεως.

Χριστοπρεπῶς εἰκονίζοντες,
τῶν Ἀποστόλων χορόν,
δεκατρεῖς Ὁσιόαθλοι,
πλάνην ἀπηλέγξατε,
τῶν ἀζύμων ἐν Χάριτι·
καὶ μακροτάτους δεσμοὺς ὑπέστητε,
πεῖναν καὶ δῖψαν Χριστὸν δοξάσαντες·
ὅθεν ἐξόπισθεν,
ἵππων προσεδέθητε,
καὶ ἐν φλογί,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

παφλαζούσῃ θάνατον,
εὕρατε πάντιμοι.

*Δόξα. Ἦχος πλ.α΄.*

Ἀγάλλου ἐν Κυρίῳ ἡ ὁσιοτόκος Μονὴ τοῦ Μαχαιρᾶ,
ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ τῶν ἀθλοφόρων σου τέκνων,
Γενναδίου καὶ Γερασίμου.
Οὗτοι γὰρ ἐνταῦθα στομωθέντες
διὰ τῆς θεοφιλοῦς ἀσκήσεως,
ὡς λέοντες θεολόγοι τὸ πῦρ τῆς πίστεως πνέοντες,
τὴν τῶν ἀζυμιτῶν λατίνων πλάνην διέλυσαν·
ὅθεν ὡς δρομεῖς καλλίνικοι
τοῖς ἵπποις προσδεθέντες,
καὶ ἐν πυρὶ ὡς πρόβατα Χριστοῦ ἀποῤῥιφέντες,
εἴληφαν τὸν στέφανον τῆς ἀθλήσεως τὸν ἄφθαρτον,
καὶ πρεσβεύουσιν ἀπαύστως,
ὑπὲρ ἡμῶν πρὸς Κύριον.

*Καὶ νῦν.* Ἀναστάσεως ἡμέρα.

*Μεγαλυνάριον*

Ἄιραντες ἐπ᾽ ὤμων γλυκὺν σταυρόν,
Μαχαιρᾶ ἐν Μάνδρᾳ,
καὶ ἐλέγξαντες γραφικῶς,
πλάνην τῶν ἀζύμων,
ἠθλήσατε γενναίως,
σὺν θείῳ Γερασίμῳ,
μάκαρ Γεννάδιε.

*Στίχοι*

*Γέρας Κυρίου δότε Μαχαιριώταις,*
*Γεννάδιέ τε, Γεράσιμε, γεννάδαι.*